Αὐτό τε τοίνυν τὸ τοῦ διδασκάλου βιβλίον ἡρμήνευκά σοι καὶ εἰς τὴν ἡμετέραν φωνὴν μετήνεγκα, τὴν τῶν Ἑλλήνων, ὡς οἷός τε ἐγενόμην, ἐν ᾧ δὴ περὶ τῆς οὐσίας τε καὶ τοῦ εἶναι πραγματεύεται, εἴτε περὶ τοῦ τί
f. 21 ἦν εἶναι καὶ τῆς οὐσίας, | ὡς ἕτεροι ἐπιγράφουσι, καὶ ἐξήγησίν τινα τῶν τοῦ διδασκάλου λόγων προστίθημι, τοῖς τε Ἀριστοτελικοῖς κανόσιν, ἔνθα ἔξεστιν, οἰκείαν καὶ τῇ αὐτοῦ Θωμᾶ γνώμῃ, ἣν ἴσμεν αὐτὸν περὶ τῶν ὅλων σχόντα συντεθειμένην, τῆς τῶν ὑστέρων (1) αἱρέσεως (2) οὐδενὸς αὐτῇ ἐπιμεμιγμένου, ὅτι μὴ πᾶσα ἀνάγκη. Κἀκείνων γὰρ ταῖς περιέργοις καὶ διθυράμβοις ζητήσεσιν ἄλλοτε, ὡς οἶσθα, ἐνασμενίζομεν καὶ οἷον εἰπεῖν ἐγκορυβαντιῶμεν, ἀλλὰ νῦν τῷ παρόντι βιβλίῳ οὐδὲν ἀλλοτρίας γνώμης ἐπικεχρῶσθαι ἐχρῆν, ἀρκούσης αὐτῷ τε τῷ τοῦ βιβλίου πατρὶ καὶ τοῖς τοῦτ' ἐξηγεῖσθαι προῃρημένοις πρὸς τὴν ἑκατέροις πρέπουσαν φιλοτιμίαν τῆς τοῦ βιβλίου διανοίας τε καὶ μεθόδου, τῆς μὲν οὐδαμῇ τῶν ἀρίστων λειπομένης, τῆς δὲ βαθείας τε πάνυ καὶ ἀληθοῦς οὔσης, ἣν ἐκ τῶν ἄλλων αὐτοῦ βιβλίων καὶ τῶν ἑταίρων αὐτοῦ καὶ ὀπαδῶν ἔξεστιν ἀθροίζειν τῷ βουλομένῳ καλῶς, πλὴν ἐν ὀλίγοις, ἐν οἷς πρὸς τὴν ἡμῶν ἐκκλησίαν διαφέρεται, οὐκ αὐτόθεν τοῦτο παθών, ἀλλὰ τοῖς πρώτοις πεπονθόσι συμπάσχων. Οὐδ' ἐχρῆν ἐξηγεῖσθαι τὰ τοῦ Θωμᾶ μὴ κατὰ Θωμᾶν· τοῦτο γὰρ οὐδὲ ἄλλῳ τινὶ προσῆκεν ἐξαμαρτάνεσθαι παρ' ἡμῶν, μὴ ὅτι γε Θωμᾷ, τῶν ἐν Λατίνοις διδασκάλων ἀρίστῳ τε καὶ σπουδαιοτάτῳ. Οὔτε δὲ Φραγγίσκον, οὔτε τὸν αὐτῶν καθηγεμόνα αἰδούμεθα, εἰ τὰ πρεσβεῖα τῷ πρεσβυτέρῳ νέμομεν, καί τοι καὶ αὐτῶν τὴν τῶν φρενῶν λεπτότητα ὑπεραγάμενοι, καὶ ἐν πολλοῖς τῶν ζητημάτων αὐτοῖς τιθέμενοι μᾶλλον.

Καὶ δὴ ἀρχομένῃ τῇ ἐξηγήσει προσέχοις ἄν, σκοπῶν ἀκριβῶς εἴ τι αὕτη προσέχοι τῷ σοφωτάτῳ Θωμᾷ.

---

(1) Ἰωάννην τὸν Σκότον λέγομεν, καὶ Φραγγίσκον δε Μαρόνις, καὶ τοὺς ἀπ' αὐτῶν. Note marginale de Scholarios.

(2) Αἵρεσιν, ἣν Λατῖνοι λέγουσι σέκταν, τουτέστιν ἀκολουθίαν ἢ συστοιχίαν, ὡς καὶ παρ' Ἕλλησιν ἀκαδημαϊκὴ καὶ περιπατετικὴ καὶ στωϊκὴ ἐλέγετο αἵρεσις, ἐπὶ καλοῦ οὐκ ἐπὶ διαβολῇ· οὕτω γὰρ ὕστερον οἱ ἐκκλησιαστικοὶ Γραικοὶ καὶ Λατῖνοι ἐξελάβοντο· κατὰ δὲ τὴν τῶν πολλῶν σημασίαν οἱ ὕστεροι μᾶλλον τοῦ Θωμᾶ ὀρθοδοξότεροι ὡς ἡμῖν καὶ τῇ ἀληθείᾳ ἐγγύτεροι, οἱ περὶ τὸν Μαΐστωρα Ἰωάννην δε Σκότζια. Autre note marginale du même.

---

17 *πεπονθόσι*: *παθοῦσιν* A 21 *οὔτε τὸν αὐτῶν καθηγεμόνα* répété dans L 25 *προσέχει* L 32 *οὕτω γάρ*: *ὡς* L 33 *ταύτην* après *κατὰ* add L *τῶν πολλῶν* om L 34 *μᾶλλον* om L *ὡς*: *καὶ* L *καὶ τῇ ἀληθείᾳ* om L

Ε.Υ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Considération générale sur le prologue.

**Καθολικὴ θεωρία περὶ τοῦ προοιμίου καὶ διαίρεσις τοῦ προοιμίου τῆς παρούσης πραγματείας.**

Παντὸς μὲν οὖν ἔργου δεῖ τι πέρας εἶναι, εἰ μὴ μέλλοι γίνεσθαι μάτην, καὶ τοῦτ' ἔσχατον ὂν ἐν τῇ ἐπεξεργασίᾳ τοῦ ἔργου ἐν τῇ γνώμῃ τοῦ ποιοῦντος πρῶτόν ἐστι, καὶ τοῦτ' ἔστιν ὁ σκοπὸς τοῦ ποιοῦντος· τοῦτο γὰρ δήπου σκοπῶν, ἄρχεταί τε πράττειν καὶ πρὸς αὐτὸ τάττει πάντα ἣ ἕκαστος ἔχει παρασκευῆς. Καὶ ὁ τινὸς τοίνυν τέχνης μέλλων εἶναι διδάσκαλος, ἅτε δὴ ἔργον τι πράττων, καὶ τοσούτῳ μείζων ὅσον ἂν ᾖ θεωρητικός, καὶ ἔτ' ἂν μᾶλλον ὅσῳ περὶ μειζόνων ἢ ὠφελιμωτέρων αὐτῷ ἡ διδασκαλία ᾖ, πέρας τι τοῦ ἔργου τούτου ἑαυτῷ δήπου προστήσεται· τοῦτο δ' ἂν εἴη μάλιστα μὲν τὸ ἔσχατον καὶ ὡς πορρωτάτω | [f. 21r] κείμενον, ὃ δὴ καὶ τέλος ἐστὶν ὡς ἀληθῶς, ἑπομένως δὲ καὶ εἴ τι ἐστὶ προσεχές· ταῦτα δὲ ἀρχόμενον τοῦ ἔργου δεῖ αὐτὸν τοῖς διδασκομένοις ἐκτίθεσθαι ὡς ἐν κεφαλαίῳ καὶ τύπῳ. Ἂν μὲν γὰρ ἡ ποίησις αὐτὸ τοῦτο ποίησις ᾖ, οὐ δεῖ τῷ γε ποιοῦντι καὶ τοῦ σκοποῦ τινι κοινωνεῖν, εἰ μὴ τοῖς συνεργαζομένοις ἴσως ἢ ὑπουργοῦσιν, καὶ τοῦτο δὲ ὡς διδάσκων πράξει, οὐχ ὡς ποιῶν. Ἂν δέ γε διδάσκαλος ὁ ποιητὴς ᾖ, καὶ διδασκαλία αὐτοῦ τὸ ἔργον, δεῖ συνειδότα τε ἔχειν αὐτῷ τὸ τοῦ ἔργου περὰς τὸν μαθητὴν καὶ οἷον συμπαραθέοντα τῷ τε πόθῳ τῆς αὐτοῦ ὠφελείας καὶ τῇ ἐλπίδι τοῦ τυχεῖν ἂν αὐτῆς ῥᾳδίως, εἰ τῇ τοῦ διδάσκοντος ἕποιτο ὑφηγήσει. Οὐ γὰρ εἰκόνα τινὰ ἁπλῶς ἐν τῷ λόγῳ τῆς τοῦ προκειμένου φύσεως ἱστάναι σκοπός ἐστι τῷ θεωρητικῆς τινος τέχνης γινομένῳ καθηγεμόνι, οὐδεμιᾶς ψυχῆς ἁπτομένην· ἄμορφον γάρ τι καὶ διάκενον εἴδωλον τοῦτ' ἂν ἦν· ἢ ὡς εἴ τις αὖ εἰργασμένον ἀνδριάντα κατασκευάσας ἐν σκότει, οἴοιτο τῆς εὐτεχνίας τι ἀπολαύσεσθαι· ἀλλ' ἐν ταῖς τῶν διδαχθησομένων ψυχαῖς τὴν εἰκόνα ταύτην ἐνιδρύειν τε καὶ ἐμπηγνύναι σκοπεῖ. Τοῦτο δ' οὐκ ἂν γένοιτο βίᾳ· ὅθεν δεῖ ὑπέχειν πρότερον τοὺς ἀκουσομένους τὰ τῆς ψυχῆς ὦτα ἑκόντας τῇ εἰκόνι ταύτῃ καθιδρυομένῃ, μᾶλλον δὲ συμμορφοῦσθαί πως αὐτῇ καὶ συμπλάττεσθαι· ὥστε δὲ βουληθῆναι τοῦτο προθυμῶς, δεῖ τε γνωρίζοντας τυγχάνειν αὐτὴν ἀμηγέπη καὶ ὁπόσον τι ὠφελήσονται προσθῆσθαι· ἄλλως δ' οὐκ ἂν βουληθεῖεν, ἐπεὶ καὶ λίθοις εἴ τις ἦν καὶ ξύλοις αἴσθησις καὶ κατάληψις τοῦ αὐτοῖς γοῦν βελτίονος, ἠβούλοντο μὲν ἂν οἰκία γενέσθαι ἢ ὁτιοῦν τέχνασμα, ἀλλὰ μὴ τηνάλλως ἐρρίφθαι· οὐ μέντ' ἂν ἐβούλοντο ἔρχεσθαι ἐπὶ τὸ ἔργον καὶ εἴκειν τῷ βουλομένῳ χρῆσθαι, μὴ εἰδότα ἐς ὅ τι αὐτοῖς χρήσεται, μαθόντα δ' αὖ ὅτι ἐς τὸ βέλτιστον χρήσεται καὶ ὅπερ αὐτὰ αὐτοῖς βέλτιστον οἴδασιν εἶναι, αὐτὰ ὑφ' ἑαυτῶν

---

28 ταύτῃ om L

ἐκινήθη ἄν· καὶ πόσον τι οἴει ἀνύσαι ἂν οἰκοδόμον καὶ οἷον τοιαύταις ταῖς ὕλαις χρώμενον; Τοιαῦται δέ που εἰσὶν αἱ τῶν ἀνθρώπων ψυχαί, ἃς δεῖ πρότερον συμπείθειν τὸν αὐτάς τι μέλλοντα ὠφελεῖν, καὶ τί μὲν ἀγαθὸν ἀναλήψονται, ὅτου δὲ ἀπαλλαγήσονται χείρονος, ἐκδιδάσκειν. Φύσει μὲν γὰρ ταῖς ἀνθρωπείαις ψυχαῖς ὁ τῆς νοερᾶς ἀληθείας ἔγκειται
f. 22 πόθος, εἰ καὶ ἄλλαις ἄλλων θερμότερόν τε | καὶ χλιαρώτερον, οἵας ἂν ἀγωγῆς τύχοι ἑκάστη ἢ τῆς τοῦ ὀργάνου κατασκευῆς, ἃ πολύ τι πρὸς τὸ διαθεῖναί πως τὴν ἐν αὐταῖς ὄρεξιν δύνανται καὶ ἢ τῶν βελτίστων πως ἢ τῶν χειρόνων ποιῆσαι ἐπιθυμεῖν. Ἐπειδὰν δὲ αἱ βέλτισται καὶ ἀκρατῶς ἐρῶσαι τοῦ εἰδέναι τἀληθῆ παρέξειν τινὶ σφίσι τὴν ἐπιθυμίαν ὑπισχνουμένῳ πιστεύσειαν, ὀξεῖ τῷ πτερῷ ἐφέπονται, ᾗ ἂν ἡγοῖτο· καὶ ἀπαλλάττονται μὲν ἀγνοίας, φρόνησιν δὲ ἐπικτῶνται καὶ τῷ τῆς ἀληθείας καταυγάζονται κάλλει καὶ ἐκπρεπεῖς, ὅσον ἔξεστι καὶ ἐν τῷδε τῷ σώματι, γίνονται.

Εἰ δὴ τοῦτο σκοπός ἐστι τῷ διδάσκοντι, δεῖ μὲν αὐτὸν πρότερον ταῖς τῶν διδασκομένων ψυχαῖς ἐγκινῆσαι τὸν τοιοῦτον πόθον καὶ οἷον ἐναύσασθαι, εἶθ' οὕτω καὶ τοῖς ἄλλοις ἐπιχειρεῖν· πράξει δὲ τοῦτο καλῶς εἰ τί μέν ἐστι τὸ ἔργον προτάξειεν, ἑπομένως δὲ καὶ τὴν ἐντεῦθεν ὠφέλειαν ὑπογράψειεν ἀμυδρῶς, οἷον περὶ τίνων μὲν αὐτῷ ἡ διδασκαλία καὶ πόσων, τί δ' ἂν γένοιτο ἀγαθὸν τῷ ταῦτα μεμαθηκότι καλῶς. Ἐπεὶ δ' ἡ τῶν προκειμένων ἔσθ' ὅτε δυσχέρεια τοὺς ἀκροωμένους εὐθύς, ὅ φασιν, ἀπὸ γραμμῆς ὀκνηροτέρους ποιεῖ, δεῖ αὐτοῖς καὶ ὁδόν τινα ἐπαγγεῖλασθαι, ᾗ αὐτοὺς πρὸς τὸ προκείμενον ἄξει, οἵαν πεισθέντες ῥᾴω τε εἶναι καὶ ταχυτέραν, οὐκ ἂν ἀπογνοῖεν· ὃ πάσχουσιν οἱ πολλοί, οἳ μὲν οὐδ' ἁπτόμενοι τἠναρχὴν τοῦ τῆς μαθήσεως ἀγαθοῦ διὰ τὰ εἰρημένα, οἳ δὲ καὶ ἐν μέσῃ ἀπαγορεύοντες τῇ ὁδῷ. Ταῦτα τοίνυν πρότερον διορίζεσθαι καὶ ἀπὸ τούτων ἄρχεσθαι τὸν διδάσκοντα δεῖ, εἰ μέλλοι τι καὶ εὐτάκτως ἀνύειν, καὶ ὅ φησι περὶ τῆς ὅλης πραγματείας αὐτοῦ τῆς προκειμένης ὁ διδάσκαλος οὗτος, ὅτι οἷον ἀρχή τις οὖσα πάσης ἐπιστημονικῆς καὶ νοερᾶς ἐνεργείας, τὰ μέγιστα λυσιτελείσειεν ἐπεξεργασθεῖσα καλῶς τοῦτο καὶ περὶ παντὸς προοιμίου καὶ πάσης ἀρχῆς ἔστιν εἰπεῖν. Διὰ τοῦτο κεκράτηκεν ἐν τοῖς τῶν βιβλίων προοιμίοις τοὺς ταῦτα συντιθέντας σοφοὺς τόν τε σκοπὸν προτιθέναι καὶ ταύτῃ τὴν ὁλοσχερῆ τοῦ πράγματος ἄγνοιαν ἐκ τῶν ἀκροατῶν ἀναιρεῖν, ἣν ἔξεστι κατά γε Ἀριστοτέλην κατ' ἀπόφασιν ἄγνοιαν ὀνομάζειν, καὶ τὴν αἰτίαν τοῦ σκοποῦ, ἥτις ἐστὶ τὸ πορρώτατον καὶ τελικώτατον τέλος, ὡς ἐν αὐτῇ γοῦν τῇ προκειμένῃ διδασκαλίᾳ· καὶ
f. 22v τὸ εὐμέθοδόν τε καὶ εὔτακτον | ὑπισχνεῖσθαι πρὸς τούτοις, δι' οὗ τὴν ἐν τοῖς τοιούτοις ἀπαντῶσαν ἐκ τῆς δυσχερείας ἀπόγνωσιν ὁ τοῦτο πεισθεὶς ἀποπέμψεται. Τούτων δὲ καὶ ὁ διδάσκαλος οὗτος ἐν τῷ παρόντι αὐτοῦ ἔργῳ τοῦ βιβλίου ἐπιμεμέληται· οὐ γὰρ οἷον τ' ἂν ἦν αὐτὸν τὰ τῶν ἄλλων ἔργα οὕτως ἡμῖν ἐξηγούμενον καὶ οὕτως ἔχοντα ἐπαινοῦντα τὸ αὐτοῦ

ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸν ἔργον οὐχ ὡς ἂν ἄριστον καὶ τελεώτατον εἴη τῷ γε εὐμεθόδῳ ἐξενέγκειν, ἀλλὰ δοκεῖν αὐτοῦ τι ἐπιλελῆσθαι.

Προοιμιάζεται τοίνυν πρὶν εἰς τοὺς περὶ τοῦ προκειμένου λόγους ἐλθεῖν. Καὶ πρῶτον μὲν περὶ τίνος αὐτῷ πρόκειται πραγματεύσασθαι, ὁλοσχερῶς τε καὶ ὡς τύπῳ περιλαβεῖν ὑποδείκνυσιν, εἰ κἂν τῇ τοῦ λόγου συντάξει τοῦτο δεύτερον κεῖται· ἐξ οὗ δὴ λαβεῖν ἔστιν ἀρκούντως ὡς ἐν προοιμίῳ τί τὸ ὑποκείμενον ἢ ἡ ὕλη τῆς παρούσης ἐστὶ πραγματείας, ὅτι περὶ μὲν τῆς οὐσίας ἐστὶ καὶ τοῦ ὄντος, τριχῇ δὲ δέδασται. Σκοπεῖ γὰρ δι' ὅλης τῆς πραγματείας περὶ αὐτῶν πρῶτα μὲν τί σημαίνει τοὔνομα τοῦ ὄντος καὶ τῆς οὐσίας· δεύτερον, πῶς ἔν τε ταῖς οὐσίαις εὑρίσκονται ταῖς ἁπλαῖς καὶ συνθέτοις κἂν τοῖς συμβεβηκόσι· καὶ τρίτον, πῶς ποτε αὐτὰ ἄμφω πρὸς τὰς λογικὰς ἐπινοίας ἔχουσι, τουτέστι πῶς δεῖ τὴν οὐσίαν λαμβάνεσθαι· πότερον καθ' αὐτήν, ἢ ὡς ἔστιν ἐν τοῖς ὑπ' αὐτήν, ἢ ὡς ἐν τῇ διανοίᾳ ἔστιν, ἐπειδὰν αὐτῇ ἡ λογικὴ ἀποδιδοῖτο ἐπίνοια. Δεύτερον, ὃ κἂν τῇ συντάξει τοῦ λόγου πρῶτον ἐστί, τὸ κεκινηκὸς αὐτὸν πρὸς τὴν τοιαύτην διδασκαλίαν ἐκτίθεται· τὸ δέ ἐστιν ὡς, ἐπεὶ ἥ τε οὐσία καὶ τὸ ὂν ὥσπερ ἀρχαί τινες ὄντα πάσης νοερᾶς ἐνεργείας, ἀγνοούμενα αὐτὰ συμπεπλανῆσθαί τε καὶ συναγνοεῖν τὰ ἄλλα ποιοῦσι τοὺς ἄνευ τῆς αὐτῶν ἀκριβοῦς εἰδήσεως ἐπιχειροῦντας τοῖς ἄλλοις, βούλεται, τῆς τοιαύτης πλάνης ἀπαλλάττων τοὺς πάσχοντας ἢ παθόντας ἄν, περὶ αὐτῶν δὴ τούτων διορίσασθαι ἱκανῶς· ὧν γινωσκομένων καλῶς, καὶ τὰ ἄλλα τις ἀπλανῶς εἴσεται. Καὶ τρίτον, τὴν τάξιν ἡμῖν προδιαγράφει τῆς προχωρήσεως, τουτέστιν ὅτι πρῶτον περὶ τοῦ ὄντος διορισάμενος, εἶτα τὸν περὶ τῆς οὐσίας προχειριεῖται λόγον, ὡς οὕτως οἰόμενος εὐμεθόδως ἂν προχωρῆσαι· καὶ τὴν αἰτίαν εὐθὺς ἐπάγει. Ἀλλ' ἡμῖν ἀρχομένοις ἀπ' αὐτῆς τῆς ἀρχῆς τοῦ προοιμίου, ἑκάστοις ἐπεξιτέον.

Τὴν τοίνυν αἰτίαν δι' ἣν ἐπῆλθεν αὐτῷ περὶ | τῶν προειρημένων εἰπεῖν f. 23
οὕτω καὶ δὴ κατασκευάζει προδήλως· τῷ περὶ τὰς ἀρχάς, φησί, τὴν πλάνην ὑφισταμένῳ πολλῷ μᾶλλον περὶ τὰ ἐκ τῶν ἀρχῶν πλανᾶσθαι συμβαίνει· ἀρχαὶ δέ τινες ἁπασῶν τῶν κατὰ νοῦν ἐνεργειῶν τὸ ὄν εἰσι καὶ ἡ οὐσία. Οὐκοῦν εὔδηλον, ὅτι τὸν περὶ τὴν φύσιν ἀμφοῖν τούτων πεπλανημένον καὶ περὶ πάσας τὰς νοερὰς ἐνεργείας τὸν τῆς πλάνης ζόφον ὑφίστασθαι πᾶσα ἀνάγκη· τοῦτο δὲ λαβὼν ἐκ συλλογισμοῦ, ἐξ αὐτοῦ συμπεραίνει, ὡς ἄρα ἀναγκαῖον ἦν πραγματείαν συντεθεῖσθαί τινα τήν τε τῆς οὐσίας καὶ τοῦ ὄντος φύσιν ἡμῖν τῷ τῆς ἐπιστήμης τρόπῳ παραδιδοῦσαν καὶ τὰς περὶ ταῦτα ἀνισχούσας ἀπορίας καὶ δυσχερείας ἐξομαλίζουσάν τε καὶ λύουσαν, ὡσὰν μὴ ἐκ τῆς τούτων ἀγνοίας καὶ περὶ τὰ ἄλλα πάντα πλανᾶσθαι συμβαίνοι ἡμῖν, καὶ οὕτω τὸ τῆς πλάνης κακόν, ὕδρας τι πολυκεφαλώτερον καὶ χεῖρον θηρίον ἐπιφυέν, εἰς τὸν τῆς ἀθλιότητος ὠθοῦν καταγάγῃ βυθὸν ἡμᾶς. Ἡ μὲν γὰρ ἐσχάτη μακαριότης τῆς

καθ' ἡμᾶς φύσεως ἐν τῇ κατὰ νοῦν ἐνεργείᾳ συνίσταται, οὕτω τοῦ Φιλοσόφου κἂν τῷ ἐνάτῳ τῶν μετὰ τὰ φυσικὰ καὶ ἐν                τῶν ἠθικῶν λέγοντος, καὶ πρό γε πάντων τῆς ἀληθείας οὕτω διδασκούσης αὐτῆς. „Αὕτη γάρ ἐστιν ἡ αἰώνιος ζωή, φησίν, ἵνα γινώσκωσι τὸν μόνον ἀληθινὸν Θεόν", τὴν πρώτην καὶ καθαρωτάτην ἀλήθειαν· ἄτοπον δ' ἂν ἦν ταύτης ἡμᾶς ἀποπίπτειν τῆς τελειότητος, ἐκ μικρᾶς οὕτω καὶ ῥᾳδίως λύεσθαι δυναμένης προφάσεως· ἄτοπος δ' ἂν ἦν, καὶ αὐτὸς ἂν φαίη περὶ ἑαυτοῦ, εἴ τι δυνάμενος πρὸς τὴν τῆς μακαριότητος ἐπίτευξιν συντελεῖν ἑαυτῷ καὶ τοῖς ἄλλοις, ἠμέλει. Ὅτι δὲ τοῦ τέλους ἡμῶν ἀφίστησιν ἡμᾶς ἡ τῆς φύσεως τουτωνὶ τῶν προκειμένων ἄγνοια, δῆλόν ἐστιν, εἴπερ αἱ μὲν θεωρητικαὶ πᾶσαι ἐπιστῆμαι πρὸς τὴν τοῦ τέλους ἐπίτευξιν ἐκείνου καὶ συνεργοῦσι καὶ ἄγουσιν, ἀδύνατον δὲ ἐκείνας ἔχειν καλῶς περὶ τὰ πρῶτα καὶ τὰς ἀρχὰς πλάνης ἡμῖν τινος συμβαινούσης. Ταῦτα δὲ ἀρχαί εἰσι τρόπον τινὰ πάσης ἐπιστημονικῆς ἐνεργείας, καὶ ἡ τούτων εἴδησις πρὸ πάντων τὴν ἡμετέραν καταλάμπουσα γνῶσιν, πρὸς τὰ λοιπὰ πέφυκεν ὁδηγεῖν. φυσικώτερον δὲ ἐνταῦθα περὶ τοῦ πῶς ἂν γένοιτο τοῦ τέλους τυγχάνειν διαλεγόμεθα καὶ κατὰ τὴν τοῦ φυσικοῦ λόγου ὑφήγησιν, ᾗ καὶ
f. 23v Ἀριστοτέλης ἕπεται, | ἐπεὶ κατὰ τὴν ἱερὰν θεολογίαν ἡμῶν ἔχει μέν τι καὶ ἀληθείας τὰ εἰρημένα, ἡ δὲ μείζων περὶ αὐτῶν ἀκρίβεια πόρρω τῆς νῦν ἐστι χρείας.

Ὅτι μὲν οὖν ἡ ἐν τῇ ἀρχῇ μικρὰ πλάνη προϊοῦσα μεγάλη γίνεται καὶ πρὸς τῷ τέλει ἐν οὐρανῷ κάρα ἐστήριξε, ποιητικῶς εἰπεῖν, ὅπερ ἐστὶν ἡ τοῦ προτέρου λόγου τῶν προτάσεων μείζων, αὐτὸν Ἀριστοτέλην μαρτύρεται τοῦτο λέγοντα ἐν πρώτῳ τῶν περὶ οὐρανοῦ· φησὶ γὰρ οὕτως ἐκεῖ·

„Καὶ πρῶτον σκεπτέον πότερον ἔστι τι σῶμα ἄπειρον, ὥσπερ οἱ πλεῖστοι τῶν ἀρχαίων φιλοσόφων ᾠήθησαν, ἢ τοῦτό ἐστιν ἕν τι τῶν ἀδυνάτων· τὸ γὰρ οὕτως ἢ οὕτως ἔχειν οὔ τι μικρόν, ἀλλ' ὅλον διαφέρει καὶ πᾶν πρὸς τὴν τῆς ἀληθείας θεωρίαν· σχεδὸν γὰρ αὕτη πασῶν ἀρχὴ τῶν ἐναντιώσεων τοῖς ἀποφηναμένοις τι περὶ τῆς ὅλης φύσεως καὶ γέγονε καὶ γένοιτ' ἄν, ἤπερ καὶ τὸ μικρὸν παραβῆναι τῆς ἀληθείας ἀφισταμένοις γίνεται πορρωτέρω μυριοπλάσιον, οἷον εἴ τις ἐλάχιστον εἶναί τι φαίη μέγεθος· οὗτος γὰρ τὸ ἐλάχιστον εἰσαγαγών, τὰ μάλιστ' ἂν κινήσειε τῶν μαθηματικῶν· τούτου δ' αἴτιον, ὅτι ἡ ἀρχὴ δυνάμει μείζων ἢ μεγέθει, διόπερ τὸ ἐν ἀρχῇ μικρὸν ἐν τῇ τελευτῇ γίνεται παμμέγεθες".

Ταῦτα μὲν οὖν φησιν Ἀριστοτέλης ὅσον πρὸς τὴν βεβαίωσιν τῆς μείζονος τῶν προτάσεων· τὴν δὲ ἑτέραν τοῦ συλλογισμοῦ μοῖραν Ἀβιγκέναν προστίθησι βεβαιοῦντα· τοῦτον γὰρ ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικὰ αὐτοῦ φησὶν ἀποφαίνεσθαι, ὡς ἄρα τὸ ὂν καὶ ἡ οὐσία εἰσὶν τὰ ἐν τῷ νῷ πρώτως

---

**2 blanc laissé pour la référence, qui a été omise    4 Ioh. 17, 3**

Ε.Υ.Δ της Ε.Τ.Η. ΙΩΑΝΝΙΝΑ 2006

συλλαμβανόμενα. Ἀληθέστατά τε Ἀριστοτέλης καὶ Ἀβιγκένας λέγουσιν ἄμφω ταῦτα. Δεῖ γὰρ ἡμᾶς καὶ ἐκ τῆς τοῦ λόγου περιουσίας πειρᾶσθαι ταῖς αὐτῶν γνώμαις συνίστασθαι, οὐχ ἕνεκα μόνον τῆς κεκρατηκυίας περὶ αὐτῶν ἐν σοφοῖς ἅπασι δόξης.

## I.

### α΄. Διατί ἡ ἐν τῇ ἀρχῇ μικρὰ πλάνη μεγάλη γίνεται ἐν τῷ τέλει.

Αὐτικὰ τοίνυν πάντα τὰ ἐξ ἀρχῆς τινος ὄντα κατὰ δύναμιν ἐν τῇ σφῶν ἀρχῇ περιέχονται, ὅπως ἂν ἕκαστον ἐκ τῆς τοιαύτης ἀρχῆς εἴη, εἴτε ὡς τὰ ἐπιφερόμενα, ὃν δὴ τρόπον τὰ συμπεράσματα ταῖς προτάσεσι ἔνεισιν· εἴτε ὡς τὰ ποιούμενα ἐκ τῆς ἰδίας ἀρχῆς, ὥσπερ τὰ πρὸς ἡμῖν πάντα ταῦτα κατὰ δύναμιν τοῖς οὐρανίοις ἐμπεριέχονται σώμασιν ὡς δὴ αἰτίοις πως τούτων ποιητικοῖς· εἴτε περιοχῇ τινι ἢ κατηγορίᾳ, ὃν δὴ τρόπον τὰ ἧττον καθόλου τοῖς ὁλικωτέροις ἐμπεριέχονται | γένεσι, τῷ γε τῆς δυνά- f. 24 μεως λόγῳ. Ἅτε γοῦν τούτῳ τῷ λόγῳ περιεχομένων πως αὐτῶν ἐν ταῖς ἰδίαις ἑκάστων ἀρχαῖς, ἀκολούθως συμβαίνει τὴν ἐν ταῖς ἀρχαῖς πλάνην τε καὶ τὸ ψεῦδος ἐν τοῖς ἀπὸ τῶν τοιούτων προϊοῦσιν ἀρχῶν ὑπερχειλεῖν πως πολλαπλασίω γεγενημένην, καὶ ἐπειδὴ ἐκ μιᾶς ἀρχῆς πλείω ἀκολουθεῖ, τὴν ἐν τῇ ἀρχῇ μικρὰν πλάνην ἐν τῷ τέλει παμμεγέθη γίνεσθαι· καὶ ὅλως ἐκ τῆς ἀρχῆς ἤρτηται πᾶσι πράγμασι τὸ εὖ τε καὶ ὡς ἑτέρως ἔχειν, ὅτι καὶ τὸ εἶναι ἐξ αὐτῆς ἐστιν αὐτοῖς ὁπωσδηποτοῦν· ἑκάστου δὲ ἐκ πλειόνων συγκεκροτημένου, πάντα αὐτοῦ ἐκ μιᾶς ἀρχῆς ἐστι τῆς πρώτης κατὰ τὸ γένος, καὶ οὐ τὸ μὲν αὐτοῦ ἐκ ταύτης, τὸ δ' ἐξ ἑτέρας τῷ ἀριθμῷ· οὐ γὰρ οἰκίας τῆς αὐτῆς ἀριθμῷ πλείους θεμέλιοι ὥστ' εἶναι δύνασθαι ἄλλον μὲν τοίχου, ἄλλον δὲ ὀροφῆς, ἀλλὰ συμπάσης τε αὐτῆς τῆς οἰκίας καὶ τῶν αὐτῆς μερῶν εἷς ἐστιν ὁ θεμέλιος πᾶσι τούτοις ὑποβεβλημένος, οὗ δὴ οὐ καλῶς ἔχοντος, καὶ ξύμπασαν τὴν οἰκίαν οὐ καλῶς ἔχειν ἀνάγκη· οὕτως οὖν ἀνάγκη καὶ περὶ ἁπάσας πεπλανῆσθαι τὰς ἐπιστήμας καὶ οἷον ὑπόσαθρόν τι καὶ ἀβέβαιον ἀνεστηκέναι φιλοσοφίας εἴδωλον ἐν ἑαυτῷ τὸν περὶ τὰς ἀρχὰς ταύτας πεπλανημένον, αἳ βάθρου καὶ κρηπῖδος λόγον πρὸς τὴν φιλοσοφίαν πᾶσαν καὶ τὰ μέρη αὐτῆς ἔχουσιν. Πᾶσαι γὰρ αἱ θεωρητικαὶ ἐπιστῆμαι τῷ γε τοῦ ὄντος λόγῳ καὶ τῆς οὐσίας πολυτρόπως τε καὶ πολυειδῶς κέχρηνται. Μάλιστα δὲ ὅ γε τοιοῦτος περὶ τὴν πρώτην σοφίαν ἐξαμαρτήσεται, ἐξ ἧς ταῖς ἄλλαις ἡ βεβαιότης, ὅτι αὕτη μάλιστα παντοίως περὶ τοῦ ὄντος τε καὶ τῆς οὐσίας πεπραγματεῦσθαι δοκεῖ. Διὸ καὶ ὑπὸ τὴν θείαν σοφίαν καὶ πρώτην τουτὶ τὸ βιβλίον ἀναφέρων τις οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας. Δῆλον τοίνυν ἐστὶν ἐκ τῶν

7 **Tous les titres en marge codd.** 16 γοῦν: οὖν L 38 ἁμάρτῃ S

Ε.Υ.Δ τ.Φ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰρημένων, ὡς ὁ τοῦ Φιλοσόφου περὶ τῆς ἐν τῇ ἀρχῇ πλάνης λόγος ἀληθέστατα ἠξίωται ὑπ' αὐτοῦ.

## II.

### β'. Διατί τὸ ὂν καὶ ἡ οὐσία πρώτως συλλαμβάνονται ἐν τῷ νῷ.

Καὶ Ἀβιγκένας δὲ ὁμοίως ἀληθέστατα λέγει· κατὰ γὰρ αὐτὸν Ἀριστοτέλη ἐν πρώτῳ τῶν φυσικῶν, τῷ ἡμετέρῳ νῷ πρότερον ὑπαντῶσι τὰ μᾶλλον συγκεχυμένα, ταῦτα δέ εἰσι τὰ μᾶλλον καθόλου διὰ τὸ τὸν ἡμέτερον νοῦν ἐν τῷ γινώσκειν ἐκ δυνάμεως εἰς ἐνέργειαν προϊέναι· τηναρχὴν γὰρ ἐν εἰλικρινεῖ τινι δυνάμει πρὸς τὰ νοητὰ πάντα πέφυκεν εἴδη, παντὶ
f. 24v δὲ ἐκ δυνάμεως | εἰς ἐνέργειαν προϊόντι αἱ ἀτελεῖς ἐνέργειαι πρότερον ὑπαντῶσιν, ὡς ἐπὶ τῆς φυσικῆς γενέσεως σαφές ἐστι τῷ βουλομένῳ σκοπεῖν. Ἐπεὶ δὲ ἡ καθόλου καὶ ὁλοσχερὴς ἐνέργεια ἀτελής, καὶ ὅσῳ μᾶλλον ἐστὶ καθόλου, τοσούτῳ καὶ ἀτελεστέρα ἐστίν, ἐντεῦθεν τὸ ὂν καὶ ἡ οὐσία τὰ πρώτως ἐν τῷ ἡμετέρῳ συλλαμβανόμενα πέφυκε νῷ, ὡς Ἀβιγκένᾳ δοκεῖ, ἅτε καὶ πλέον τῶν ἄλλων πάντων καθόλου γε ὄντα.

Ῥητέον ἐστὶ τί τῷ ὀνόματι τῆς οὐσίας. — Θεὶς τὴν αἰτίαν ὁ διδάσκαλος δι' ἣν πρὸς τὴν πραγματείαν ταύτην ὡρμήθη, καὶ τὴν ἀπ' αὐτῆς ὠφέλειαν ἐνδειξάμενος, νῦν τύπῳ τε καὶ συλλήβδην τὴν ὕλην τῆς πραγματείας ἐκτίθεται, καὶ περὶ τίνων αὐτῷ πρόκειται διαλέγεσθαι· ὅτι περὶ τριῶν τινων εἰς ἕν τι ἀποδιδομένων τὴν περὶ τοῦ ὄντος καὶ τῆς οὐσίας ἀκριβῆ θεωρίαν. Τί μὲν οὖν αὐτῷ τὰ τρία ταυτὶ βούλεται, προϊὼν αὐτὸς δείξει· περὶ γὰρ τούτων ἡ πᾶσα πραγματεία ἐστίν. Ὅθεν οὐ δεῖ περὶ αὐτῶν ἡμᾶς ἐν τῷ παρόντι πλέον τι λέγειν τῶν ἐν ἀρχῇ ὁλοσχερῶς εἰρημένων. Ἀλλ' ἐπειδή φησι τί τῷ ὀνόματι τῆς οὐσίας καὶ τοῦ ὄντος σημαίνεται καὶ οὐ λέγει τί ἐστιν ἡ οὐσία καὶ τὸ ὄν, ὅθεν καὶ δοκεῖ τις περὶ τοῦτο δυσχέρεια ἀνακύπτειν, τὸν περὶ τούτου διαλευκανοῦμεν λόγον μετρίως.

## III.

### γ'. Πόσα εἰσὶ τὰ ζητούμενα, καὶ περὶ τῆς αὐτῶν πρὸς ἄλληλα τάξεως.

Δεῖ γὰρ εἰδέναι, ὅτι τέσσαρά φησιν εἶναι τὰ ζητούμενα ἐφ' ἑκάστου ἐν δευτέρῳ τῶν περὶ ἀποδείξεως ὁ Φιλόσοφος· δύο μὲν ἁπλᾶ καὶ οὐ

---

**17 Les mots *Ῥητέον ἐστὶ τί τῷ ὀνόματι τῆς οὐσίας* sont un extrait de la traduction du texte original (cf. *Prologue*, 1, p. 154, 9), extrait qui est l'objet du commentaire. Il y a cette différence entre AL et S, que AL n'indiquent les renvois au texte que par le premier mot (ici, par exemple, ils n'ont que *Ῥητέον*) tandis que S donne parfois une phrase entière: ici: *Ῥητέον ἐστὶ τί τῷ ὀνόματι τῆς οὐσίας καὶ τοῦ ὄντως σημαίνεται καὶ πῶς ἐν διαφόροις εὑρίσκονται, καὶ ἑξῆς.* Dans notre édition, nous indiquons les renvois par 4 ou 5 mots en mentionnant la section du texte et la page où ils se trouvent.**

τιθέντα τὸ πρᾶγμα ἐν ἀριθμῷ, τό τε εἰ ἔστι καὶ τὸ τί ἐστιν, ἅπερ ἁπλᾶ τε λέγονται καὶ χωρὶς ἀριθμοῦ, διότι περὶ τῆς ὑπάρξεως ζητοῦσι τοῦ πράγματος, μηδεμιᾶς ἑτέρας ἀποδόσεως περὶ αὐτὸ γινομένης, ὥσπερ ἐπειδὰν ζητῶμεν εἰ ἔστιν ἄνθρωπος, καὶ τούτου δοθέντος, ἐπιζητοῦμεν τί ἂν εἴη. Τὰ δὲ λοιπὰ δύο σύνθετα τέ εἰσι καὶ τιθέντα ἐν ἀριθμῷ· τό τε ὁποῖόν τί ἐστι καὶ διὰ τί ἔστιν, ἃ τιθέναι ἐν ἀριθμῷ λέγονται, διότι ζητοῦσιν ὅπως ἄλλο ἄλλῳ συνέζευκται, ὥσπερ ὅταν ζητῶμεν ὁποῖόν τί ἐστιν ὁ ἄνθρωπος, εἰ λευκόν, λόγου χάριν, ἢ μουσικόν, οὗ τεθέντος, ζητοῦμεν διὰ τί ἐστι λευκὸς ἢ μουσικός. Τούτων δὴ τῶν τεττάρων ζητημάτων τὰ μὲν πρότερα δύο προηγοῦνται τῶν ἐσχάτων ὡς συνθέτων ἁπλᾶ, ἑκατέρας δὲ τῆς δυάδος τὸ πρότερον προηγεῖται τοῦ μετ' αὐτὸ ἐξ ἀνάγκης, διότι τὸ δεύτερον ἐξ ἀνάγκης τὸ πρῶτον προϋποτίθησιν, ὡς αὐτόθεν δῆλον ἐστίν. Ἀλλ' εἰ καὶ τῶν τεσσάρων τούτων ζητημάτων μόνων ἐν δευτέρῳ τῶν περὶ ἀποδείξεως πεποίηται τὴν διαίρεσιν ὁ Φιλόσοφος, | ἐν τῷ προ- f. 25
τέρῳ μέντοι γε τῶν αὐτῶν καὶ ἕτερον ζήτημα τίθησιν, τὸ τί σημαίνει τοὔνομα, ὃ δὴ προδήλως προηγεῖται τῶν τεσσάρων ἐκείνων, καὶ πρὶν ζητηθείη τὰ ἄλλα, τοῦτο ζητεῖσθαι δεῖ. Μάτην γὰρ ἄν τις ζητοίη περὶ τοῦ πράγματος, οὗ μηδὲ τὴν τοῦ ὀνόματος οἶδε σημασίαν. Διὰ τοῦτο δὲ καὶ ὁ διδάσκαλος οὗτος πρὸ πάντων βούλεται δεῖξαι τί σημαίνει τοὔνομα τῆς οὐσίας καὶ τοῦ ὄντος, ὡς δὴ τῆς τοιαύτης ζητήσεως τῶν ἄλλων προηγουμένης. Ἀριστοτέλης δὲ ἐν τοῖς τῶν ὑστέρων δευτέροις τοῖς ἄλλοις αὐτὸ ζητήμασιν οὐ συναριθμεῖ, ἢ περὶ τῶν πραγματικῶν ζητήσεων τὸν λόγον ποιεῖσθαι βουλόμενος· ἡ γὰρ τοῦ τί σημαίνει τοὔνομα ζήτησις ὀνόματός ἐστι καὶ φωνῆς, οὐ πράγματος· ἢ τῷ τί ἐστιν ὁλοσχερῶς ἐχρήσατο καὶ ἐξηπλωμένως, ὡς τόν τε πραγματώδη καὶ τὸν ὀνοματώδη περιέχει λόγον, ἐπεὶ ἄλλοθι, ὡς εἴρηται, διαιρεῖ.

## IV.

## δ'. Τί διαφέρει τὸ τί ἐστι τοῦ πράγματος καὶ τὸ τί τοῦ ὀνόματος.

Ἐπὶ τούτοις καὶ τοῦτο εἰδέναι δεῖ, ὅτι τὸ τί σημαίνει τοὔνομα τοῦ τί ἐστι τὸ πρᾶγμα τριχῇ διενήνοχεν· ἑνὶ μέν, ὅτι τὸ τί σημαίνει τοὔνομα δυνατόν ἐστιν εἰδέναι τινά, ἀγνοοῦντα τὸ τί ἐστι τὸ πρᾶγμα, καὶ οὐ τὸ ἀνάπαλιν· δευτέρῳ δέ, ὅτι τὸ τί τοῦ ὀνόματος καὶ τῶν ὄντων καὶ τῶν μὴ ὄντων ἔστιν ὁμοίως· ὅθεν περὶ τοῦ τραγελάφου δυνάμεθα τί τὸ ὄνομα σημαίνει γινώσκειν, τὸ δὲ τί τοῦ πράγματος οὐκ ἐπίστασθαι, εἴ γε μηδὲ ἐν τῇ τῶν πραγμάτων ὅλως ἔστι φύσει· τρίτῳ, ὅτι τὸ μὲν τί τοῦ ὀνόματος ἀρχή ἐστι τῆς τοῦ εἰ ἔστιν ὅλως ἐν τῇ τῶν ὄντων φύσει ζητήσεως,

13 *ἐν τῷ* L  23 *ποιεῖσθαι βουλόμενος*: *ποιούμενος* L

Ε.Υ.Δ της Σ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ δὲ τί τοῦ πράγματος ἀρχή ἐστι τῆς τοῦ εἰ ἔνεστί τινι ὡς ὑποκειμένῳ πάθος ζητήσεως.

Ἐπειδὴ δὲ ἐκ τῶν συνθέτων. — Ἐνταῦθα τὸ τρίτον τοῦ προοιμίου μέρος ἐστίν, ἐν ᾧ προαναγγέλλει τὴν τάξιν ᾗ προχωρήσει πρὸς τὴν τῶν προτεθειμένων κεφαλαίων ἐπεξεργασίαν, καὶ λέγων ὅτι περὶ τοῦ ὄντος πρότερον ἐρεῖ, ἔπειτα δὲ καὶ περὶ τῆς οὐσίας, ἅμα καὶ τοιοῦτον λόγον προστίθησιν· πάντα μέν, φησίν, ὁποιανοῦν ἐπιστήμην παραδιδόντα ἐκ τῶν ὑστέρων τε καὶ συνθέτων ἀρχόμενον, εἰς τὰ ἁπλᾶ καὶ πρότερα χρὴ κατιέναι, τοιοῦτον δέ ἐστι τὸ ὂν πρός γε τὴν οὐσίαν, σύνθετόν τε καὶ ὕστερον πρὸς ἁπλῆν αὐτὴν καὶ προτέραν· οὐκοῦν ἀπὸ τῆς σημασίας τοῦ ὄντος πρὸς τὴν τῆς οὐσίας σημασίαν καὶ ἡμᾶς ἀφικνεῖσθαι χρή, σκοπουμένους περὶ ἀμφοῖν τούτων. Τοῦ δὲ δεῖν ἀπὸ τῶν ὑστέρων ἄρχεσθαι
f. 25v καὶ συνθέτων καὶ λόγον τινὰ ἀποδίδωσι· τὰ γὰρ σύνθετα, | φησί, καὶ ὕστερα, ῥᾴω πρός τε μάθησιν καὶ διδασκαλίαν εἰσὶ καὶ ὅλως κατάληψιν τῶν πρώτων καὶ ἁπλουστέρων, ὡς δὴ αὐτῶν γνωριμώτερα· πρέπουσα δὲ καὶ οἰκεία διδασκαλία ἐστὶν ἐκ τῶν ῥᾳόνων ἐπὶ τὰ χαλεπώτερα προχωρεῖν, ὥστ' ἐκ τῶν ὑστέρων καὶ συνθέτων ἄρχεσθαι τῆς διδασκαλίας προσῆκον ἂν εἴη. Τοιάδε μὲν ἡ λέξις τοῦ διδασκάλου βούλεται, ἡμᾶς δὲ καὶ ἔξωθέν τινα ἐπισκέψασθαι δεῖ, προφάσει αὐτῇ χρησαμένους, ἃ δόξειεν ἂν τοῖς εἰς φιλοσοφίαν εἰσαγομένοις σπουδαίως οὐκ ἀηδῆ.

## V.

### ε΄. Πῶς ἐστιν ἄλλο ἄλλου γνωριμώτερον.

Καὶ πρῶτον περὶ τοῦ πῶς ἂν εἴη ἄλλο ἄλλου γνωριμώτερον ἐπισκεπτέον. Διχῶς τοίνυν ἔστι τι τινὸς γνωριμώτερον· ἕνα μὲν τρόπον, ἁπλῶς τε καὶ καθ' αὑτό, τουτέστι φύσει, καὶ ταύτῃ τὰ ἁπλούστερά τε καὶ πρότερα ἐκδηλότερά εἰσι τῶν συνθέτων καὶ μετ' αὐτά, καὶ ὅσῳ ἂν αὐτοῖς πλέον τοῦ ἁπλοῖς τε καὶ προτέροις εἶναι μετῇ, τοσούτῳ καὶ γνωριμώτερά εἰσι καθ' αὑτά· καὶ διὰ τοῦτο τὸ τὸν Θεὸν εἶναι γνωριμώτατόν ἐστι καθ' αὑτό, ὃς ἐν τῷ ἐσχάτῳ τῆς ἁπλότητος ἱδρυμένος, καὶ πρῶτος πάντων ἀσυγκρίτως ἐστίν· ἄλλον δὲ τρόπον ἔστι τι γνωριμώτερον πρὸς ἡμᾶς, καὶ οὕτω τὰ σύνθετά τε καὶ ὕστερα τῶν προτέρων καὶ ἁπλουστέρων πολὺ προέχει τῇ σαφηνείᾳ, καὶ τοσούτῳ γνωριμώτερά ἐστιν, ὅσῳ μᾶλλον ἂν εἴη σύνθετά τε καὶ ὕστερα· καὶ διότι κατ' Ἀριστοτέλην ἐν πρώτῳ τῶν φυσικῶν πέφυκεν ἡμῖν ἡ ὁδὸς ἀπὸ τῶν ἡμῖν σαφεστέρων ἐπὶ τὰ σαφέστερα φύσει καὶ γνωριμώτερα, διὰ τοῦτο καλῶς φησιν ὁ διδάσκαλος ἐν τῇ μείζονι προτάσει τοῦ λόγου, ὡς ἄρα ἐκ τῶν συνθέτων τὴν τῶν ἁπλῶν γνῶσιν λαμβάνομεν, καὶ ἐκ τῶν ὑστέρων εἰς τὰ πρότερα καταντῶμεν.

---

1 *ὡς ἐν* L 3 *Ἐπειδὴ δὲ*: cf. texte, *Prologue*, 2, p. 155, 3 16 *ἐκ*: ἀπὸ L

Ε.Υ. Δ.... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## VI.

## ϛʹ. Πότερον τὰ ἁπλᾶ γνωριμώτερά εἰσι τῶν συνθέτων, ἢ τοὐναντίον.

Δεῖ μέντοι καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις ἐπίστασθαι, ὅτι καὶ τὸ λέγεσθαί τι πρότερον ἡμῖν καὶ γνωριμώτερον διττόν ἐστιν· ἢ ἐν τῷ αὐτῷ γένει τῆς γνώσεως, ἢ ἁπλῶς τε καὶ ἀπολελυμένως, τουτέστιν ὡς ἔν τινι παραθέσει τῆς αἰσθητικῆς γνώσεως πρὸς τὴν νοεράν. Εἰ μὲν οὖν ἐν τῷ αὐτῷ γένει τῆς γνώσεως θεωροίη τις, ἀληθές ἐστιν ὅ φησιν ὁ Φιλόσοφος ἐν ἀρχῇ τοῦ πρώτου τῶν φυσικῶν, καὶ ὁ διδάσκαλος οὗτος ἐνταῦθα, διότι παρά τε τῷ νῷ καὶ τῇ αἰσθήσει ἡμῶν ὁμοίως γνωριμώτερά εἰσιν ἡμῖν τὰ μᾶλλον συγκεχυμένα καὶ μᾶλλον καθόλου. Ἐπειδὰν γάρ τι πόρρωθεν καθορῶμεν, πρῶτον γνωρίζομεν δι' αἰσθήσεως ὅτι σῶμά ἐστιν, καὶ μετὰ ταῦτα, ὅτι ζῷόν ἐστι, καὶ ἐφεξῆς ὅτι ἄνθρωπός τις, | f. 26 εἰ τύχοι ἄνθρωπον εἶναι τὸ προσιόν· κἂν τῷ νῷ δὲ τὸν αὐτὸν τρόπον πρότερον συναντᾷ τὸ ὄν, εἶθ' ἡ οὐσία, εἶτα τὸ σῶμα, μετὰ τοῦτο τὸ ζῷον, εἶτα ὁ ἄνθρωπος, εἰ τύχοι ἄνθρωπον εἶναι ὃ νοητῶς καὶ ἐπιστημονικῶς ἡμῖν πρόκειται θεωρεῖν.

Ἀλλὰ κατὰ τὰ διάφορα γένη τῆς γνώσεως ἀληθές ἐστιν αὖθις ὅ φησιν ὁ Φιλόσοφος ἐν πρώτῳ τῶν περὶ ἀποδείξεως· φησὶ γὰρ ἐκεῖ πρότερα ἡμῖν εἶναι καὶ γνωριμώτερα τὰ ἐγγύτερον τῆς αἰσθήσεως, ἁπλῶς δὲ πρότερα καὶ γνωριμώτερα τὰ πορρώτερον αὐτῆς, πορρωτάτω δὲ εἶναι προστίθησι τὰ μάλιστά γε καθόλου. Ὅτι δὲ τοῦτ' ἀληθές ἐστι τῷ γε εἰρημένῳ τρόπῳ, δῆλον ἐστίν. Ἐπειδὴ γὰρ ἡ ἡμετέρα γνῶσις ἐκ τῆς αἰσθήσεως ἄρχεται, αὕτη δὲ οὐκ ἀντιλαμβάνεται εἰ μὴ τοῦ καθ' ἕκαστον μόνου, ἕπεται ἡμῖν γνωριμώτερα εἶναι τὰ μερικὰ τῶν καθόλου, εἴπερ τὸ πρότερον ἡμῖν γνωριζόμενον γνωριμώτερον εἶναι δεῖ, εἰ καὶ κατὰ φύσιν τὸ καθόλου πέφυκε τοῦ μερικοῦ γνωριμώτερον· καὶ ὅλως ἀντιπεπονθότως ἔχει τρόπον τινὰ τὰ τῆς νοερᾶς ἡμῖν καὶ αἰσθητικῆς ἐνεργείας· ἀρχομένη μὲν γὰρ ἑκατέρα τούτων, ἀπὸ τῶν ἀλλοτρίων ἄρχεται· ἀλλότρια δὲ νῷ μὲν τὰ καθ' ἕκαστα, αἰσθήσει δὲ τὰ συγκεχυμένα· προκόπτουσα δὲ καὶ τελειουμένη, τὰ σύστοιχά τε καὶ οἰκεῖα πρῶτον ἑκατέρα προχειρίζεται. Ἡ δέ γε νοερὰ ἐνέργεια ἀπὸ τῶν καθόλου ἀρχομένη, ἅπερ οἶδε γνησίως, καὶ ἐπὶ τὰ καθ' ἕκαστα ἐξικνεῖται πλαγίως πως καὶ κατά τινα ἐπιστροφήν. Τοῦτο δὲ τῇ αἰσθήσει οὐ πρόσεστι πρός γε τὰ καθόλου οὐδαμῇ οὐδαμῶς.

Ταῦτα μὲν οὖν ἱκανὰ πρὸς φανέρωσιν ὧν ὁ διδάσκαλος οὗτος ἠξίωσε καθόλου περὶ τοῦ τῆς διδασκαλίας τρόπου.

---

13 *ἄνθρωπός ἐστι καὶ ἄνθρωπός τις* L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## VII.

### ζ΄. Ὅπως ἂν λέγοιτο τὰ συγκεκριμένα σύνθετα εἶναι.

Ἐπεὶ δὲ ἐν ἐλάττονος προτάσεως τάξει καὶ τὸ ὂν σύνθετόν τε καὶ ὕστερον εἴρηκεν εἶναι τῇ γε οὐσίᾳ παραβαλλόμενον, ὡσὰν καὶ τοῦτο σαφέστερον γένηται, εἰδέναι δεῖ, ὅτι τὸ συγκεκριμένον ἅπαν σύνθετόν τί ἐστιν, ἁπλῷ δέ τινι ἔοικε τὸ ἐξ ἀφαιρέσεως. Ἡ μὲν γὰρ λευκότης ἁπλοῦν τι ἐστίν, μὴ δυναμένη μὲν νοεῖσθαι χωρὶς ὑποκειμένου τινὸς τελείᾳ νοήσει, ὅσον δὲ τὸ ἐφ᾽ αὐτῇ, εἰλικρινῆ τινα λευκότητα διδοῦσα νοεῖν, οὐθ᾽ ὑποκείμενόν τι μορφοῦσαν, οὐθ᾽ ἑαυτῇ πως συναπτομένην ἢ ἐνυπάρχουσαν, ἀλλὰ τῷ τρόπῳ τοῦ καθ᾽ αὑτὸ ὄντος σημαινομένην ὡς καὶ καθ᾽ αὑτὴν ἂν γενομένην, εἴπερ οἷόν τε ἦν, τὸ δὲ λευκὸν σύνθετόν τι δηλοῖ. Εἰ γὰρ
f. 26v | τῇ πρωτοτύπῳ σημασίᾳ αὐτοῦ ποιότητά τινα δίδωσιν ἡμῖν εἰλικρινῆ νοεῖν, ἐν ὑποκειμένῳ μέντοι γε ταύτην εἶναι τινὶ φανεροῖ. Οὕτω δὲ ἔχει ἡ οὐσία καὶ τὸ ὄν, ὡς ἅπαν συγκεκριμένον καὶ ἐξ ἀφαιρέσεως. Ἡ μὲν γὰρ οὐσία αὐτὸ τοῦτο τὴν οὐσίαν εἰλικρινῆ δηλοῖ· τὸ δὲ ὂν αὐτὴν σημαίνει τὴν οὐσίαν σὺν ἐκείνῳ οὗ τυγχάνει οὐσία· καὶ διὰ τοῦτο καλῶς ὁ διδάσκαλος εἶπεν τὸ μὲν ὂν σύνθετόν τι εἶναι, τὴν δὲ οὐσίαν ἁπλοῦν, καὶ ὡς δὴ παντὸς συνθέτου ὑστέρου ὄντος, προτέρου δὲ τοῦ ἁπλοῦ, τὸ ὂν ὕστερόν τι εἶναι, τὴν δὲ οὐσίαν προτέραν.

## VIII.

### η΄. Τί ἐστι τὸ τοῦ νοῦ ἀντικείμενον, πότερον τὸ ὄν, ἢ τὸ ἀληθές, ἢ ἡ οὐσία.

Ἐπεὶ δὲ ποῦ μὲν εὕρηται ἀντικείμενον εἶναι τοῦ νοῦ τὸ ὄν, ὡς Ἀβιγκένᾳ καὶ τῷ διδασκάλῳ τῷδε δοκεῖ, ποῦ δὲ τὸ τί ἦν εἶναι, ὡς ἐν τοῖς περὶ ἀποδείξεως κἂν τῇ μετὰ τὰ φυσικά, ἑτέρωθι δὲ ἀντικείμενον τοῦ νοῦ λέγεται τἀληθές, ὃν τρόπον τἀγαθὸν ἀντικείμενόν ἐστι τῆς θελήσεως, ὡς ἐν τῶν μετὰ τὰ φυσικά, ὡσὰν μηδεμίαν ταῦτα ποιοίη τινὶ σύγχυσιν ἀβασανίστως οὑτωσὶ θεωρούμενα, τῷ περὶ τοῦ ὄντος λόγῳ καὶ τὴν περὶ τούτων προστιθέναι διάκρισιν ἔγκαιρον ἂν εἴη. Ἕκαστον δὴ τούτων ἀντικείμενον τοῦ νοῦ λέγοιτ᾽ ἄν, καὶ λίαν ὀρθῶς, διαφόρως μέντοι γε τοῦ ἀντικειμένου λαμβανομένου. Τὸ γὰρ ἑκάστης δυνάμεως ἀντικείμενον τριχῶς λαμβάνεσθαι δύναται· ἕνα μὲν τρόπον, ὡς τὸ πάντα περιλαμβάνον τὰ τῇ δυνάμει ὑποκείμενα, καὶ ταύτῃ τὸ ὂν ἀντίκειται προδήλως τῷ νῷ· ἕτερον δὲ τρόπον, ὡς τὸ πρωτοτύπως τε καὶ ἰδιαιτέρως ἀντικείμενον τῇ δυνάμει, καὶ οὕτω τὸ τί ἦν εἶναι τοῦ νοῦ ἐστιν ἀντικείμενον, τὸ μὲν τῶν ὑλικῶν τε καὶ ἐν αἰσθήσει πραγμάτων, τοῦ συνημμένου νοῦ, τοῦ δέ γε κεχωρισμένου, τὸ τῶν ἔξω τῆς ὕλης· τρίτον δὲ τρόπον,

---

22 ἢ: *καὶ* L  23 ἢ: *καὶ* S  28 le blanc laissé pour la référence

ἀντικείμενον τῆς δυνάμεως λέγεται καὶ νοεῖται, ὅπερ ὡσανεὶ λόγος ἐστὶ τοῦ διὰ τί τῇ αὐτῇ δυνάμει διάφορα ὑποπίπτουσι, καὶ οὕτω τἀληθὲς ἀντικείμενόν ἐστι τοῦ νοῦ· ὅτιπερ γὰρ ἂν αὐτῷ νοηθείη, ὑπὸ τῷ τοῦ ἀληθοῦς λόγῳ νοεῖται, κἂν μὴ ᾖ τοῦτ' ἀληθές, ὥσπερ καὶ πᾶν ἐφετὸν ὑπὸ τῷ τοῦ ἀγαθοῦ λόγῳ τοιοῦτόν ἐστιν, κἂν αὐτὸ τύχοι φαῦλόν τι εἶναι. Τὰ δὲ εἰρημένα γένοιτ' ἂν ἐκδηλότερα ἐκ τῶν ἀντικειμένων τῶν ἄλλων δυνάμεων καὶ τῶν ὑποκειμένων ἁπασῶν τῶν ἐπιστημῶν διὰ τὸ τὰς δυνάμεις πρὸς τὰ ἀντικείμενα οὕτως ἔχειν ὡς αἱ ἐπιστῆμαι πρὸς τὰ αὐτῶν ὑποκείμενα· ἀλλὰ συντομίας εἵνεκα, ταῦτα παριτέα εἶναί μοι | δοκεῖ καὶ τοῖς f. 27 σπουδαιοτέροις ἀνιχνεύεσθαι παραλειπτέα. Ὡσαύτως δὲ καὶ τί ἂν τῶν τριῶν τούτων οἰκειότερόν τε καὶ ἀληθέστερον κρίνοιτο ἀντικείμενον εἶναι τοῦ νοῦ, ἐξέστω τοῖς βουλομένοις ἐπιμελῶς ζητεῖν καὶ εὑρίσκειν, καὶ εἰ τὸ γενικώτατον γένος, ἡ οὐσία, ἀντικείμενόν ἐστί πως τοῦ νοῦ πρός γε τοῖς εἰρημένοις ὡς προτέρας τε καὶ τελεωτέρας ὀντότητος οὖσα τῶν ἄλλων γενῶν, ἢ εἴ τι καὶ τούτων ἐπέκεινα δυνατόν ἐστιν ἀντικείμενον τοῦ νοῦ πρῶτον λέγεσθαι ὡς πρῶτον καὶ ἄριστον ἐν τῇ τάξει τῶν νοητῶν.

## IX.

### θ'. Πότερον τὸ εἶναι καὶ ἡ οὐσία διαφέρουσι πραγματικῶς ἐν τοῖς κτίσμασιν.

Ἐπεὶ δὲ περὶ τοῦ τί ἦν εἶναι καὶ τῆς οὐσίας ἐνταῦθα διορίζεσθαι μέλλει, οὐκ ἀπεικότως ἂν καὶ ἡμῖν ζητητέον ἐνταῦθα πρὸς γυμνασίαν τῶν σπουδαιότερον εἰσαγομένων, ὡς εἴρηται, εἰ ταὐτόν ἐστιν ἥ τε οὐσία καὶ τὸ εἶναι πραγματικῶς ἐν τοῖς κτίσμασιν, ἢ διενηνόχασιν· δόξειε μὲν γὰρ ἁπλῶς ταὐτὸν εἶναι ταῦτα πράγματι ἐν τοῖς κτίσμασιν· σαφὲς γάρ ἐστιν, ὡς ἡ τοῦ δημιουργεῖν ἐνέργεια ὁρίζεται πρὸς τὸ εἶναι· ὡς γὰρ ἐν τῷ περὶ αἰτιῶν βιβλίῳ λέγεται, πρῶτον ἀποτέλεσμά ἐστι τὸ εἶναι, καὶ οὐκ ἔστι πρὸ τούτου τι κτιστόν. Εἰ τοίνυν ἡ οὐσία ἔργῳ διαφέρει τοῦ εἶναι, ἢ αὐτὴ δημιουργοῖτ' ἂν κατὰ συμβεβηκός, ἢ δύο ἂν εἶεν δημιουργίαι τοῦ αὐτοῦ πράγματος, ᾗ τε τὸ εἶναι κτίζεται καὶ ᾗ παράγεται ἡ οὐσία. Ἄμφω δὲ ταῦτα ἄτοπά εἰσι· ταὐτὸν ἄρα εἰσὶ καὶ οὐ διάφορα ἔργῳ ἥ οὐσία τε καὶ τὸ ὄν. Ἀλλὰ τοὐναντίον ἐστὶν ἀληθές· τὸ γὰρ μετέχον τοῦ μετεχομένου πράγματι διενήνοχεν· μετέχει δὲ ἡ οὐσία τοῦ εἶναι, ὥστε καὶ πράγματι διενήνοχε. Δεῖ γὰρ εἰδέναι καθόλου, ὅτι καθάπερ ἡ ὕλη πρὸς τὸ εἶδος ἔχει καὶ τὴν στέρησιν, οὕτω καὶ ἡ οὐσία πρὸς τὸ εἶναι καὶ τὸ μὴ εἶναι· δέχεταί τε γὰρ ἡ ὕλη τὸ εἶδος καὶ ἡ στέρησις τοῦτ' ἀπωθεῖται· ὡς δὲ καὶ ἡ οὐσία μὲν προσλαμβάνει τὸ εἶναι, τὸ δὲ μὴ εἶναι τούτῳ ἐναντίον ἐστὶ καὶ ἀναιροῦν αὐτὸ καὶ ἐκβάλλον, ἀλλ' ἡ ὕλη πραγματικῶς οὐ μόνον τῆς στερήσεως διενήνοχεν, ἀλλὰ καὶ τοῦ εἴδους· διὸ καὶ ὁ Φιλόσοφος, ἐν πρώτῳ τῶν περὶ ἀρχῶν, τρεῖς εἶναι τίθησιν ἀρχὰς

ΙΩΑΝΝΙΝΑ 2006

τῶν ἐν τῇ φύσει πραγμάτων, ἔργῳ διαφερούσας, ὕλην τε δηλονότι καὶ εἶδος καὶ στέρησιν. Ἕπεται τοίνυν ἐντεῦθεν τὴν οὐσίαν πραγματικῶς ἐν τοῖς κτίσμασι διενηνοχέναι οὐ τοῦ μὴ εἶναι μόνον, ἀλλὰ δὴ καὶ τοῦ εἶναι. f. 27v Πῶς δέ ἐστιν ἐπὶ τοῦ Θεοῦ, μετὰ ταῦτα ἐροῦμεν· ἀλλὰ νῦν τοῦ προ|κειμένου ζητήματος ἐχώμεθα.

Πρὸς τὸ ἐπιχείρημα τοίνυν ἐκεῖνο ῥητέον ἐστίν, ὅτι ἡ δημιουργία οὐχ ὁρίζεται πρὸς τὸ εἶναι, οὔτε πρὸς τὴν οὐσίαν, κυρίως διαλεγομένων ἡμῶν, ἀλλὰ μᾶλλον πρὸς τὸ ὑποκείμενον, τουτέστιν ὁρίζεται πρὸς τὴν οὐσίαν ὑπὸ τῷ εἶναι· σύγκειται γάρ πως τὸ ὑποκείμενον ἐκ τῆς οὐσίας τε καὶ τοῦ εἶναι, καὶ πᾶσαι αἱ ἐνέργειαι, ὡς ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικά, τῶν καθ' ἕκαστα, τουτέστι τῶν ὑποκειμένων, εἰσίν. Ἐπειδὰν δὲ λέγηται, ὅτι ἡ δημιουργία ὁρίζεται πρὸς τὸ εἶναι διότι τὸ πρῶτον ἐν τοῖς κτιστοῖς πράγμασι τὸ εἶναί ἐστιν, οὐχ οὕτω δεῖ νοεῖν, ὡς αὐτοῦ τοῦ εἶναι κτίσματος ὄντος, πρὸς ὅ ποτε ἰδίως ἡ δημιουργία ὁρίζεται, ἀλλ' ὅτι τὸ εἶναι λόγος τίς ἐστι τοῦ δημιουργεῖσθαί τι· ὥσπερ οὐδὲ τὸ χρῶμα δεῖ λέγεσθαι τῆς ὄψεως ἀντικείμενον, ἀλλὰ τὸ κεχρωσμένον, καὶ αὐτὸ μέντοι λέγεται ἀντικείμενον εἶναι, καὶ πρὸς αὐτὸ τὴν ὄψιν ὁρίζεσθαι ὡς πρὸς ἴδιον ἀντικείμενον, διότι λόγος τις ἐστὶν εἰδικὸς τοῦ ἀντικειμένου τῆς ὄψεως· οὐδὲν γὰρ ὁρᾶται εἰ μὴ ὑπὸ τῷ λόγῳ τοῦ χρώματος, εἰ καὶ τὸ κεχρωσμένον κυρίως ἐστὶ τῆς ὄψεως ἀντικείμενον.

## X.

1. Τί δημιουργεῖται πρότερον, πότερον τὸ εἶναι, ἢ ἡ οὐσία.

Εἰ δὲ ζητοίη τις πότερον κτίζεται πρότερον τὸ εἶναι, ἢ ἡ οὐσία, δεῖ λέγειν, ὅτι πραγματικῶς διαλεγομένων ἡμῶν, οὐδέτερον αὐτῶν πρότερον τοῦ λοιποῦ κτίζεται, οὕτω τῆς ἱερᾶς ἡμᾶς πειθούσης διδασκαλίας ἐν πολλοῖς, ἀλλ' ἅμα ἄμφω παράγονται· κατὰ δὲ τὸν λόγον σκοποῦσιν ἑκάτερον τοῦ λοιποῦ πρότερόν πῃ καὶ ὕστερον λέγοιτ' ἂν εἶναι· ᾗ μὲν γὰρ ἀδύνατόν ἐστι τὴν οὐσίαν γίνεσθαι εἰ μὴ ἔχοι τὸ εἶναι, ταύτῃ τὸ εἶναι πρότερον ἔκτισται· ᾗ δὲ τὸ εἶναι οὐ δύναται κτίζεσθαι εἰ μὴ ἐν τῇ οὐσίᾳ προσλαμβανόμενον, οὕτω προηγοῖτ' ἂν ἡ οὐσία. Ὅθεν κυρίως κτίσμα μέν ἐστι τὸ ὑποκείμενον, τὸ δὲ εἶναι καὶ ἡ οὐσία εἰσὶ συγκτιζόμενα.

Δεῖ τοίνυν εἰδέναι. — Μετὰ τὸ προοίμιον ἐπεξέρχεται τοῖς προκειμένοις αὐτῷ, πρὸ δὲ πάντων, ὅθεν τε εἴληπται τοὔνομα τῆς οὐσίας σκοπεῖ καὶ περὶ τῶν οὐσιῶν τῶν πραγμάτων διαλαμβάνει, καὶ πῶς ποτε ἔχει τοὔνομα τῆς οὐσίας πρὸς τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος καὶ τὴν φύσιν ἐπιζητεῖ, καὶ τοῦτο πᾶν ἄριστα ἐπεξεργασάμενος, οὕτω πρὸς τὰ λοιπὰ

---

12 *διότι* répété dans L 17 *εἶναι*: *ὂν* L 33 *Δεῖ τοίνυν εἰδέναι*: texte, chap. I, 1, p. 155, 10 36 *καὶ τὴν φύσιν* om L

Ε.Υ.Δ.Τ.Ι.Σ Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006